eul_wid: vmw-ad

*Καλλιμάχου Σχόλια* · Callimachus Scholia

# Narratives-Hecale Ancient Scholia

*Διηγήσεις Ἑκάλης Ἀρχαῖα Σχόλια*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

230 col10 (18) Ἑκάλης Ἀκταίη τις ἔναιεν Ἐρεχθέος ἔν ποτε γουνῷ Θησεὺς φυγὼν τὴν ἐκ Μηδείης ἐπιβουλὴν διὰ πάσης ἦν φυλακῆς τῷ πατρὶ Αἰγεῖ, ἅτ' αἰφνίδιον ἀνακομισθὲν ἐκ Τροιζῆνος μειράκιον αὐτῷ οὐ προσδοκήσαντι. βουλόμενος δ' ἐπὶ τὸν λυμαινόμενον τὰ περὶ Μαραθῶνα ταῦρον ἐξελθεῖν ὅπως χειρώσαιτο, καὶ εἰργόμενος, κρύφα τῆς οἰκίας ἐξελθὼν περὶ ἑσπέραν ἀπῆρεν. αἰφνίδιον δὲ ὑετοῦ ῥαγέντος κατ' ἐσχατιὰν οἰκίδιον θεασάμενος Ἑκάλης τινὸς πρεσβύτιδος ἐνταῦθα ἐξενοδοκήθη. πρὸς δὲ τὴν ἕω ἀναστὰς ἐξῄει ἐπὶ τὴν χώραν, χειρωσάμενος δὲ τὸν ταῦρον ἐπανῄει ὡς τὴν Ἑκάλην· αἰφνίδιον δὲ ταύτην εὑρὼν τεθνηκυῖαν ἐπιστε[νάξ]ας ὡς ἐψευσμένος τῆς προσδοκίας, ὃ ἐφ[ .

230 col11 ... ]εν μετὰ θάνατον εἰς ἀμοιβὴν τῆς ξενίας ταύτῃ παρασχέσθαι, τοῦτο ἐπετέλεσεν δ[ῆ]μον συνστησάμενος ὃν ἀπ' αὐτῆς ὠνόμα[σ]εν, καὶ τέμενος ἱδρύσατο Ἑκαλείου Δι[ό]ς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org